eul_wid: hgw-bo

Ἀριστοτέλης · Aristotle

# Testimonies

Μαρτυρίαι

**Period:** Κλασική Classical
**Dialect:** Ἀττική Attic
**Domain:** Φιλοσοφία Philosophy
**Format:** Συναγωγή Collection
**Affiliation:** Aristotelian

3c,646,T 1a ARISTOT. Vit. Menag. no. 159: Περὶ τῆς τοῦ Νείλου ἀναβάσεως.

3c,646,T 2a PHOT. Bibl. 249 (ANON. Vit. Pythag.) p. 441 a 34: ὅτι οἱ ἐτησίαι πνέουσι κατὰ τὸν καιρὸν τοῦ ἀκμαιοτάτου θέρους δι' αἰτίαν τοιαύτην ..... φέρονται γοῦν ἐπὶ τοὺς ἐναντίους τόπους, τοὺς μεσημβρινούς. ἐκεῖ δὴ ταῦτα ἐκφερόμενα προσπίπτει τοῖς ὑψηλοτάτοις ὄρεσι τῆς Αἰθιοπίας, καὶ πολλὰ καὶ ἀθρόα γινόμενα ἀπεργάζεται ὑετούς· καὶ ἐκ τῶν ὑετῶν τούτων ὁ Νεῖλος πλημμυρεῖ τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων. καὶ τοῦτο Ἀριστοτέλης ἐπραγματεύσατο · αὐτὸς γὰρ ἀπὸ τῆς φύσεως ἔργωι κατενόησε ν , ἀξιώσας πέμψαι τὸν Ἀλέξανδρον τὸν Μακεδόνα εἰς ἐκείνους τοὺς τόπου ς , καὶ ὄψει τὴν αἰτίαν τῆς τοῦ Νείλου αὐξήσεως παραλαβεῖ ν . διό φησιν ( F 1 § 1 0 ) ὡς τοῦτο « οὐκέτι πρόβλημά ἐστιν · ὤφθη γὰρ φανερῶ ς , ὅτι ἐξ ὑετῶν αὔξε ι» . καὶ 〈λύεται〉 τὸ παράδοξον, ὅτι ἐν τοῖς ξηροτάτοις τόποις τῆς Αἰθιοπίας, ἐν οἷς οὔτε χειμὼν οὔτε ὕδωρ ἐστί, ξυμβαίνει τοῦ θέρους πλείστους ὑετοὺς γίνεσθαι.

3c,646,T 2b STRABON 17, 1, 5 p. 789/90: οἱ μὲν οὖν ἀρχαῖοι στοχασμῶι τὸ πλέον, οἱ δ' ὕστεροι αὐτόπται γενηθέντες, ἤισθοντο ὑπὸ ὄμβρων θερινῶν πληρούμενον τὸν Νεῖλον, τῆς Αἰθιοπίας τῆς ἄνω κλυζομένης, καὶ μάλιστα ἐν τοῖς ἐσχάτοις ὄρεσι, παυσαμένων δὲ τῶν ὄμβρων παυομένην κατ' ὀλίγον τὴν πλημμυρίδα. τοῦτο δ ' ὑπῆρξε μάλιστα δῆλον τοῖς πλέουσι τὸν Ἀράβιον κόλπον μέχρι τῆς Κινναμωμοφόρο υ , καὶ τοῖς ἐκπεμπομένοις ἐπὶ τὴν τῶν ἐλεφάντων θήρα ν , καὶ εἴ τινες ἄλλαι χρεῖαι παρώξυνον ἐκεῖσε ἄνδρας προχειρίζεσθαι τοὺς τῆς Αἰγύπτου βασιλέας τοὺς Πτολεμαικούς · οὗτοι γὰρ ἐφρόντισαν τῶν τοιούτω ν , διαφερόντως δὲ ὁ Φιλάδελφος ἐπικληθείς .... οἱ πάλαι δὲ βασιλεῖς οὐ πάνυ ἐφρόντισαν τῶν τοιούτων, καίπερ οἰκεῖοι σοφίας γεγονότες καὶ αὐτοὶ καὶ οἱ ἱερεῖς, μεθ' ὧν ἦν αὐτοῖς ὁ πλείων βίος, ὥστε [καὶ] θαυμάζειν ἄξιον καὶ διὰ τοῦτο καὶ διότι Σέσωστρις τὴν Αἰθιοπίαν ἐπῆλθεν ἅπασαν μέχρι τῆς Κινναμωμοφόρου ... Καμβύσης τε ... προῆλθε καὶ μέχρι τῆς Μερόης (673 F 15; 155) .... θαυμαστὸν οὖν, πῶς ἐκ τῶν τοιούτων ἀφορμῶν οὐ τελέως ἐναργὴς ἦν ἡ περὶ τῶν ὄμβρων ἱστορία τοῖς τότε .... εἰ γὰρ ἆρα, τοῦτ' ἐχρῆν ζητεῖν, ὅπερ καὶ νῦν ἔτι ζητεῖται, τί δήποτε θέρους, χειμῶνος δὲ οὔ, καὶ ἐν τοῖς νοτιωτάτοις, ἐν δὲ τῆι Θηβαίδι καὶ τῆι περὶ Συήνην οὐ συμπίπτουσιν ὄμβροι· τὸ δ' ὅτι ἐξ ὄμβρων αἱ ἀναβάσεις μὴ ζητεῖν, μηδὲ τοιούτων δεῖσθαι μαρτύρων οἵους Ποσειδώνιος (87 F 79) εἴρηκε· φησὶ γὰρ Καλλισθένη (124 F 12) λέγειν τὴν ἐκ

τῶν ὄμβρων αἰτίαν τῶν θερινῶ ν , παρὰ Ἀριστοτέλους λαβόντ α , ἐκεῖνον δὲ παρὰ Θρασυάλκου τοῦ Θασίου —τῶν ἀρχαίων δὲ φυσικῶν εἷς οὗτος (Vorsokr. 5 35) —, ἐκεῖνον δὲ παρ' ἄλλου, τὸν δὲ παρ' Ὁμήρου (Od. δ 477) διιπετέα φάσκοντος τὸν Νεῖλον—«ἂψ δ' εἰς Αἰγύπτοιο διιπετέος ποταμοῖο».

3c,646,T 2c PROKL. in Plat. Tim. 22 E (I 121, 8 Diehl): Ἐρατοσθένης δὲ οὐκέτι φησὶν 〈πρόβλημα εἶναι〉 οὐδὲ ζητεῖν χρῆναι περὶ τῆς αὐξήσεως τοῦ Νείλου, σαφῶς καὶ ἀφικομένων τινῶν εἰς τὰς τοῦ Νείλου πηγὰς καὶ τοὺς ὄμβρους τοὺς γιγνομένους ἑωρακότων, ὥστε κρατύνεσθαι τὴν Ἀριστοτέλους ἀπόδοσιν.

3c,646,T 2d JOH. LYDUS De mens. 4, 107: ἀλλὰ καὶ Θρασυάλκης ὁ Θάσιος τοὺς ἐτησίους φησὶν ἐξωθεῖν τὸν Νεῖλον· τῆς γὰρ Αἰθιοπίας ὑψηλοῖς παρὰ τὰ καθ' ἡμᾶς ὄρεσι διεζωσμένης ὑποδεχομένης τε τὰς νεφέλας πρὸς τῶν ἐτησίων ὠθουμένας, ἐκδιδόναι τὸν Νεῖλον. ὡς καὶ Καλλισθένης ὁ Περιπατητικὸς ἐν τῶι τετάρτωι βιβλίωι τῶν Ἑλληνικῶν (124 F 12) φησιν ἑαυτὸν συστρατεύσασθαι Ἀλεξάνδρωι τῶι Μακεδόν ι , καὶ γενόμενον ἐπὶ τῆς Αἰθιοπίας εὑρεῖν τὸν Νεῖλον ἐξ ἀπείρων ὄμβρων κα τ ' ἐκείνην γενομένων καταφερόμενον.

3c,646,T 2e LUCAN. B. C. 10, 268: quae tibi noscendi Nilum, Romane, cupido est, / et Phariis Persisque fuit Macetumque tyrannis / nullaque non aetas voluit conferre futuris / notitiam, sed vincit adhuc natura latendi. / summus Alexander regu m , quem Memphis adorat, / invidit Nilo misitque per ultima terrae / Aethiopum lecto s ; illos rubicunda perusti / zona poli tenuit: Nilum videre calentem. / venit ad occasus mundique extrema Sesostris / et Pharios currus regum cervicibus egit: / ante tamen vestros amnes, Rhodanumque Padumque, / quam Nilum de fonte bibit; vaesanus in ortus / Cambyses longi populos pervenit ad aevi / defectusque epulis et pastus caede suorum / ignoto te, Nile, redit.

Eulogikon public reading copy · View original HTML at eulogikon.org